ἀρθρ. ϛιχ.

κινήσεων σύςημα συμπασῶν, ὅσαι(ψ) γ. 64
αἰσθήσεώς τε καὶ κατασκευῆς ὕπο ϛ. 117
ὁρμώμεναι σπλάγχνων τε καὶ μελῶν ὅλων
ξύμπαν τ' ἀπαρτίζουσι τοὔμψυχον δέμας, η. 193
σῶον τε συσσώζουσι δρῶν τ' ἐπὶ χρόνον(ω). γ. 66
τὸ γοῦν διαρκὲς τοῦδε τὸ ξύν γε δράσει
τὸ πρός γε τῶνδε τῶν κινήσεων ὅσον,
Ζωή. τόδ' ἂν καλοῖτο τοῦδε τὸ ζῆν εἰκότως.
ὑγιεία. εὐεξία δὲ ταῖςδε τὸ χρῆσθ' ἀρτίαις.
νόσος. Νόσημα δ' αὖθις ταῖςδε μὴ χρῆσθ' ἀρτίαις·
θάνατ. Μόρος δὲ τοῦδε, τῶνδ' ὅλως πεπαυμένων.
ΙΒ. Ἐξ ὧν ἐναργὲς οἷον ἡ φύσις φέρει,
κινήσεων δήπουθεν οἷά περ σθένος (α), ια. 221
πρὸς τοῦδε ῥῶσιν πρός τ' ἀποτροπὴν νόσων,
σώζουσα τοῦτο σῶον ἀρτεμές θ' ἅλις
ἰσοῤῥόπῳ τε συντόνῳ θ' αὐτῆς σθένει, ια. 229
ἐξ οὔγε χυμῶν ἔσθ' ἅπασ' εὐκρασία (β)
ῥύμῃ φέροντος κύκλα τῶνδ' ἀγχωμάλῳ,
μίξιν κεραννῦντος τε τῶνδε συμμέτρως,
ὃ ῥῦμα τῆς τοῦδ' ἂν καλοῖτ' εὐεξίας.
προφυλακὴ ὑγιείας. βεβλαμμένου γὰρ τοῦδ' ἰσοῤῥόπου σθένους
ὅπως ποτ' οὖν δή, μίξεως ξυμμετρία
χυμῶν ἁπάντων αὐτίκ' ἠλλοιωμένη
μετετράπη πάνδεινον ἐς δυσκρασίαν,

ἐς

(ψ) Γαλην. Περὶ διαίτ. α. ζ. ιβ. (ω) περὶ κρισίμ. ἡμερ. Β. β. (α) περὶ διαίτ. ια. ιδ. (β) περὶ φύσ. ἀνθρ. ϛ.